# Ὁσίου Νείλου τοῦ Σιναΐτου.



Ὁ ἀκριβὴς ἐξεταστὴς τῶν λογισμῶν, εἶναι κ' ἀληθὴς ἐραστὴς τῶν θείων ἐντολῶν.

Ἡ ἀγάπη, ἀπαθείας ἐστί συναίφεια, παθῶν δέ ἀπαλοιφή, τήν μακροθυμίαν προφέρουσα κ' τόν ζέοντα θυμόν καταψύχουσα, τήν ταπείνωσιν προβάλλουσα κ' τήν ὑπερηφανίαν καταφέρουσα. Ἀγάπη ἔχει μέν ἴδιον οὐδέν πλήν τοῦ Θεοῦ, αὐτή γάρ ἐστιν ὁ Θεός.

Σωφροσύνη ἐστίν ἀληθείας στολή, ἀσελγείας πέλεκυς, παθῶν ἡνίοχος, ἐπίσκοπος λογισμῶν, ἀκολασίας ἐκτομή, ἐγκρατείας συνεργός, καρδίας λαμπτήρ, εὐχῆς γνώμων.

<u>Περί τῶν 8 πνευμάτων πονηρίας:</u> 1) Περί γαστριμαργίας: Ἀρχή καρποφορίας πνευματικῆς ἡ ἐγκράτεια. Ἀρχή παθῶν ἡ γαστριμαργία. Πλῆθος βρωμάτων τρέφει ἐπιθυμίαν. Πολυτέλεια βρωμάτων τέρπει λαιμόν κ' τρέφει σκώληκα ἀκοίμητον ἀκολασίας. Τοῦ νηστεύοντος ὁ νοῦς, ὡς ἀστήρ λαμπρός. Ὁ νοῦς γαστριμάργου βλαστάνει πονηρούς λογισμούς.

Περί πορνείας: Ἡ ἐγκράτεια τίκτει σωφροσύνην, ἡ γαστριμαργία εἶναι μήτηρ ἀκολασίας. Ἀκόλαστον ἐρεθίζει πρός ἡδονήν, ὄψις γυναικός, τόν δέ σώφρονα κινεῖ πρός δοξολογίαν Θεοῦ. Ὅταν γυναικός μνήμη γίνεται ἀπαθῶς ἐν σοί, τότε ἡ ἀρετή τῆς σωφροσύνης στολίζει σε. Χρονίζουσα εἰς τήν ψυχήν φαντασία γυναικός, διαφθείρει τήν ἕξιν τῆς σωφροσύνης. Ὡς σπινθήρ ἐν ἀχύροις χρονίσας ἐγείρει φλόγαν, οὕτω μνήμη γυναικός παραμένουσα ἐξάπτει ἐπιθυμίαν.

Περί φιλαργυρίας:
Αὕτη ῥίζα πάντων τῶν κακῶν κ' τρέφει ὡς κλάδους πονηράς τάς λοιπάς πάθη. Ὁ ἀκτήμων μοναχός, ἀετός ὑψιπέτης. Θάλασσα οὐκ ἐμπίπλαται, δεχομένη ὕδατα ποταμῶν κ' ἐπιθυμία φιλαργύρου οὐκ ἐξαντλεῖται, οὐδέποτε παύεται. «Ἐπικατάρατος ὁ ποιῶν εἴδωλον κ' τιθείς ἐν ἀποκρύφῳ» (Δευτερονόμ. 27,15) ὁμοίως κ' ὁ ἔχων πάθος φιλαργυρίας. Ὁ εἰδωλάτρης προσκυνεῖ κίβδηλον ἀνωφελές, ὁ δέ (φιλάργυρος) ἀγαλματοφορεῖ φαντασίαν πλούτου.

Περί ὀργῆς:
Μανιῶδες τό πάθος αὐτό, θηριωδία ψυχῆς. Ὁ θυμώδης ταράσσεται ὑπό λογισμῶν ἀσυνέτων. Θάλασσα γαλήνη ἔχουσα - τερπνή θεωρία! Ἀλλ' οὐκ ἔστιν τερπνοτέρα εἰρηνικῆς καταστάσεως. Ἀόργητος ψυχή γίνεται ναός Ἁγ. Πνεύματος. Κλίνει κεφαλήν Χριστός, ἐν μακροθύμῳ πνεύματι κ' μονή γίνεται τῆς Ἁγ. Τριάδος εἰρηνευομένη διάνοια. Φεύγει ἀνήρ σεμνός αἰσχρόν καταγώγιον κ' Θεός μνησίκακον καρδίαν. Ἐκδίωξον τούς λογισμούς ὀργῆς κ' θυμοῦ ἐκ ψυχῆς σου κ' οὐ μή ταραχθῇς ἐν ὥρᾳ προσευχῆς. Θυμώδους εὐχή - βδελυκτόν θυμίαμα. Ἀμνησίκακος γυμνάζει λόγους πνευματικούς κ' δέχεται μυστηρίων λύσεις.

Περί λύπης:
Ὁ λυπούμενος οὐκ οἶδε πνευματικήν ἡδονήν. Λύπη ἐστί κατήφεια ψυχῆς κ' συνίσταται ἀπό λογισμῶν ὀργῆς. Θυμός ἐστίν ὄρεξις ἀμύνης, ἀποτυχία ἀμύνης ἐγέννησε λύπην. Παντός καλοῦ ἐμπόδιον ἐστίν ἡ λύπη. Δεσμός ποδῶν ἐμπόδιον δρόμου κ' λύπη

ἐμπόδιον θεωρίας. Οὐκ ἰσχύει λύπη μή παρόντων τῶν ἄλλων παθῶν. Ἀποτυχία ὀρέξεως σαρκικῆς γεννᾷ λύπην. Ὁ νικήσας τά πάθη, δέν κυριεύεται ἀπό λύπην. Ἡ ἀσπίς εἰς στρατιώτην κ' τεῖχος εἰς πόλιν ἐστίν ἀσφάλεια. Ἀπάθεια δέ εἰς μοναχόν κ' χριστιανόν ἀσφαλεστέρα. Ὁ ἀγαπῶν τόν κόσμον, λυπηθήσεται πολλά, ὁ καταφρονῶν τά ἐν αὐτῷ (ματαίαν δόξαν κ' μέριμνες βιωτικές...) εὐφραίνεται διά παντός. Φιλάργυρος ζημιωθείς λυπηθήσεται πικρῶς. Ὁ φιλόδοξος λυπεῖται, ἐπελθούσης ἁμαρτίας. Ὁ καταφρονῶν ἡδονῶν κόσμου, οὐ κυριεύεται ὑπό λογισμῶν λύπης.

## Περί ἀκηδίας:

Ἀκηδία ἐστίν ἀτονία ψυχῆς. Εἰς τούς πειρασμούς οὐκ ἵσταται γενναίως. ψυχή μή ἔχουσα ὑπομονήν, ὑπό πνεύματος ἀκηδίας πολεμεῖται. Φυτόν μεταφυτευόμενον οὐ καρποφορεῖ κ' μοναχός περιφερόμενος οὐ ποιήσει καρπόν ἀρετῆς. Ἀκηδιαστής ἀναγινώσκων χασμᾶται πολλά, νικώμενος ἀπό τόν ὕπνον, ὀκνηρός εἰς προσευχήν, οὐ ποιήσει ἔργον θεῷ ἐπιμελῶς. Τάξον (βάλε) μέτρον σεαυτῷ ἐν παντί ἔργῳ κ' μή ἐγκαταλίψῃς αὐτό ἕως τέλους, προσευχόμενος συνετῶς. Οὕτω ἡ ἀκηδία ἀπομακρύνεται ἀπό σοῦ.

## Περί κενοδοξίας:

Πάθος ἄλογόν ἐστιν ἡ κενοδοξία, συμπλεκόμενον μέ ταῖς ἀρεταῖς. Κενοδοξία πέτρα ἐστίν, προσπίπτων ἀπώλεσε τό ἐμπόρευμα. Μή πωλήσῃς τούς πόνους σου, εἰς τήν ἀνθρωπίνην δόξαν.

Μή προδώσης τήν μέλλουσαν δόξαν, δι' εύφημίαν. Δόξα άρετής μένει είς τόν αίώνα.

Περί ύπερηφανίας.

Αύτη άσθένειά έστι ψυχής. Ύπερηφανίαν εύαγγελίζεται, παρρησία κενοδοξίας. Ύπερηφανίαν νοσεί ό άπομακρυνθείς θεῷ κ' έπιγράφων τα κατορθώματα είς τίς δυνάμεις τοῦ. Ή ύπερηφανία άπ' ούρανοῦ κατεβίβασε άρχάγγελον έωσφόρον έπί γής. Ή Ταπεινοφροσύνη, αναβιβάζει είς ούρανόν. Μέγα τό άξίωμα τοῦ άνθρώπου όταν βοηθείται άπ' τόν θεόν, έγκατελείφθη κ' τό άσθενές τής φύσεως έγνώρισεν. Είς ύψος άρετών άνήλθες; ό Κύριος σ' ώδήγησεν έκεί, Αυτός σέ έβοήθησεν. Όμολόγει τόν ύψώσαντά σε θεόν, διά νά μείνης έν τῷ ύψει βέβαιος. Μή καταφρονήσης ταπεινοῦ (άσφαλέστερος γάρ σου, έπί γής βαδίζει κ' ού πίπτει ταχέως. ό ύπερήφανος, έάν πέση συντρίβεται. Ύπερήφανος χριστιανός, δένδρον άρριζον. Λόγος ταπεινοῦ, φάρμακον ψυχής. Παροξύνει θεόν δέησις ύπερηφάνου. Ό πεσών άπ' έδάφους ταχέως έγείρεται, ό δέ πεσών άπό ύψους, είς θάνατον κινδυνεύει.

Βλέπε ού μόνον τά γραφέντα ταύτα, άλλά κ' τά έν τῇ ψυχῇ κτιζόμενα δι' άγάπης κ' άμνησικακίας. Εύχής-προσευχής τρόπος διπλοῦς (θεωρητικός κ' πρακτικός). Ούτω κ' άριθμοῦ (ποσότης μέν, τό δέ σημαινόμενον ποιότης).

Στῦθι, νῆφε έμπόνως κ' προσεύχου εύτόνως. Άγωνίζου διά νά παραμείνῃ ό νοῦς σου καθαρός κ' άπλαστος έν ὥρᾳ →

προσευχῆς. Αὕτη ἀληθὴς προσευχή, πραότητος κ' ἀοργησίας βλάστημα, χαρᾶς κ' εὐχαριστίας φανέρωσις, ἀνάβασις νοῦ πρὸς Θεόν.

Ζήτησον εἰς προσευχὴν σὺ τὴν δικαιοσύνην κ' βασιλείαν δηλ. τὴν ἀρετὴν κ' γνῶσιν κ' τὰ ὑπόλοιπα θὰ σοῦ δοθοῦν. Ἐκδίωξον πᾶν ἐμπαθὲς νόημα.

Ἡ φιάλη (εἰς τὴν ἀποκάλυψιν τοῦ Ἰωάννου) νόησον τὴν πνευματικὴν φιλίαν κ' Ἀγάπην πρὸς Θεόν, ἐν τῇ ὁποίᾳ ἐνεργεῖται ἐν Πνεύματι κ' ἀληθείᾳ.

Ἡ μὲν ψαλμῳδία τύπος ἐστιν τῆς ποικίλης σοφίας, ἡ δὲ προσευχή, προοίμιόν ἐστι τῆς ἀΰλου κ' ποικίλης γνώσεως.

(Ἡ γνῶσις εἶναι καλλίστη συνεργὸς προσευχῆς)

Ὅπως ὁ ἄρτος εἶναι τροφὴ σώματος, οὕτω κ' ἀρετὴ τροφὴ ψυχῆς ἐστι.

(...φαρισαϊκῶς ἢ τελωνικῶς εὐχόμεθα;)

Μακάριος (κ' ἀπειρομακάριος) ὁ μετὰ χαρᾶς ὁρῶν τὴν προκοπὴν κ' σωτηρίαν πάντων ὡς οἰκείαν. Ὁ πάντας ἀνθρώπους ὡς Θεὸν μετὰ Θεὸν λογιζόμενος.

...μὴ διασκορπίζῃς κακῶς, αὐτὰ τὰ ὁποῖα συνήγαγες καλῶς.

Ὅταν προσεύχεσαι κ' δὲν εὑρίσκεις ἄλλην χαρὰν μεγαλυτέραν ἀπ' αὐτήν, τότε ἀληθῶς εὗρες προσευχήν!

Οἱ μὲν λογισμοὶ τέμνουσιν, οἱ δὲ τέμνονται ὑπὸ ἀγαθῶν οἱ πονηροὶ λογισμοί.

Πάντα νόμιζε φθαρτὰ κ' τὴν ἀρετὴν ἄφθαρτον. Λάλει τῷ Θεῷ πολλὰ κ'

εἰς τοὺς ἀνθρώπους ὀλίγοι.
Μέ τήν μελέτη θείων
λογίων ἐπιτύχεις αὐτῶν.

«... μάχαιρες δύο» κατά
τόν λόγον τοῦ Εὐαγγελίου,
διδασκαλία πρός πιστούς
κ' (τό ἄλλον εἶδος) διδαχή
εἰς ἐχθρούς τῆς ἀληθείας.
Τό μέν πρός ἔλεγχον
ψεύδους, τό δέ βεβαίωσις
τῆς ἀληθείας. Ὁ ἀρχιε-
ρεύς τῆς Παλ. Διαθήκης εἶχε
ἐπί στήθους τήν „δήλωσιν"
κ' τήν «ἀλήθειαν» δηλ.
δήλωσιν πρός σαφήνειαν
τῶν λεγομένων κ' ἀλή-
θειαν πρός ἀνατροπήν
τοῦ ψεύδους.

Τοῦ μέλλοντος αἰῶνος γνω-
στικός πολίτης γενοῦ, ἵνα
ὅταν φθάσῃς ἐκεῖ, μή ὡς
ξένος ἀγνοηθῇς ἀλλ' ὡς
φίλος κ' πολίτης τιμηθῇς.

(τά ἀνωτέρω ἐκ
τῶν θησαυρῶν τῆς Πατερικῆς
γραμματείας: «Ὑπακοή Θεοῦ
ἐστι, πίστις
ἀληθής κ' βίος
ἔνθεος».

«Ἐάν τό ἐᾶν[1] ἑ-
αυτόν ἄνευ νήψε-
ως, θάνατον νάει[2],
νάε[3] δάκρυα μετα-
νοίας, ἵνα ψυχήν
καθαρίσῃς κ' καλ-
λωπίσεις»

1: ἀπαρέμφ. ἐνεστῶτος
τοῦ ἐῶ, ἐᾷς, ἐᾷ, ἐῶμεν
κ.λπ. = ἀφήνω, ἐπι-
τρέπω.
2: νάω = ρέω.
3: (νάε → προστ. ἐνεστῶ-
τος: νάε, ναέτω κ.λπ.)
τοῦ ρήματος νάω.

«Νῦν τό νεῖν[4] ὅρα»,
δηλ. τώρα βλέπε ποῦ
πηγαίνεις, πῶς κολυ-
μπάς εἰς τήν θάλασ-
σα τῆς ζωῆς, πῶς γνέθεις
τό ἔνδυμα τῶν ἀρετῶν
τῆς ψυχῆς σου.
4: νέω = πηγαίνω, κο-
λυμβῶ, γνέθω.)

Τέλος κ'
τῷ Θεῷ δόξα!
π. Ἀλυπ. Ἄθως